ἀργείοις περόωσιν ἀπ' ἀργέος οἶδμα θαλάσσης.
ἐς τροίην ὅτ' ἔπλωον, ἐφαίνετο σήματα πολλὰ,
σκηπτοὶ ἐριφλεγέες, μεγαλοσμάραγοι, βρονταί τε,
ἴριδες, ἠδὲ κομῆται, λεῖψις τ' ἠελίοιο.
καὶ τάγε θυμῷ τρείεσκον πάντες Παναχαιοί,
αὐτὸς δ' αὖ Παλαμήδης ἐκ δέους εἵλετο πάντων,
φήσας οὐκ ἀργείοις, τρωσὶ δὲ, σῆμα κακοῖο.
πάντα γὰρ ἀντολίηθεν ἐφαίνετο σήματα ταῦτα.
πρὸς δέ τε μάντις ἔειπεν, ἀληθέα πάντα πιφαύσκων,
πεσσὸν δ' αὖ, καὶ γράμματα, δεύτερον, εὗρεν ἀχαιοῖς:
καὶ τότε τὸν κυδαίνεσκον δῖοι Παναχαιοί,
καὶ τάγε θυμὸν ἔκαινεν ἀριστοφόνου ὀδυσῆος.

Mire πάντες Παναχαιοί.

ll. Possis caesurae per ἐφαίνετο succurrere. Sed Tzetziani versus eam saepe negligunt. mm. in ms. λεῖψις τ' ἠελίοιο. forte recta lectio, λείψεις.

135. ΟΥ ΜΕΝ ΟΔΥΣΣΕΟΣ. τὸ σχῆμα παράλυσις [68] ἀνασκευαστική. ΟΔΥΣΣΕΟΣ. τὸ σς μακρὸν ἰωνικῶς. [69] ἃ δὲ ψευδῆ αἰτία τῆς ἔχθρας ὀδυσσέος καὶ παλαμήδους, ταῦτα. ὀδυσσεὺς, μὴ θέλων ἀποπλεῦσαι πρὸς τὸν τρωϊκὸν πόλεμον, μανίαν ὑπεκρίνατο, καὶ λαβὼν ὄνον καὶ βοῦν, ἠρότρια. [70] θεὶς ὁ παλαμήδης τηλέμαχον, τὸν ἐκείνου υἱὸν, πρὸ τοῦ ἀρότρου, ἔδειξεν αὐτὸν σωφρονοῦντα. ὀδυσσεὺς γὰρ, φοβηθεὶς, μὴ τῷ ἀρότρῳ πλήξῃ τὸν παῖδα, ἐπαύθη τοῦ ἀροτριᾶν μεμηνότως, καὶ συνεξέπλευσε τοῖς ἕλλησι, καὶ τούτου ἕνεκα ἐμήνια τῷ παλαμήδει.

Eadem, iisdem pene verbis, habet Isaac. Tzetzam, ad Lycophronis v. 384. & 818.

136. ΟΥΤ ΑΡΑ ΤΗΛΕΜΑΧΟΙΟ. ἀπὸ κοινοῦ τὸ σχῆμα καλεῖται. λαμβάνεται γὰρ κοινῶς καὶ ἐπ' αὐτῷ τὸ, ΜΝΗΣΟΜΑΙ.

Sic ἀπὸ κοινοῦ νοητέον τόδε. Eustath. Od. γ'. p. 121. habes etiam apud Latinos Scholiastas.

139. ΟΙΔΜΑ ΘΑΛΑΣΣΗΣ. κῦμα. ἐκ τοῦ οἰδῶ, οἰδήσω, οἴδημα, καὶ οἶδμα.

Ad verbum habet Etymologus in οἶδμα. Adde Suidam, Hesychium, alios.

145. ΦΗΣΑΣ ΟΥΚ ΑΡΓΕΙΟΙΣ. τὸ σχῆμα συνεκδοχή. ἔστι δὲ ἐναντίον τῷ ἀπὸ κοινοῦ. ἐν μὲν γὰρ τῷ ἀπὸ κοινοῦ τὸ πρῶτον λαμβάνεις καὶ ἐπὶ τοῦ δευτέρου, ἐν δὲ τῇ συνεκδοχῇ, ἐν τῷ πρώτῳ μηδὲν εἰπὼν, συνεκδέχῃ τὴν τοῦ δευτέρου ἀπόδοσιν ἐπὶ τοῦ πρώτως ῥηθέντος, ὡς νῦν, φήσας, ΟΥΚ ΑΡΓΕΙΟΙΣ. συνεκδέχῃ γὰρ ἐπ' αὐτοῦ λέγειν, τὸ ΣΗΜΑ ΚΑΚΟΙΟ, τοῦ δευτέρου λόγου ὄν τοῦ, ΤΡΩΣΙ ΔΕ.

http://digital.slub-dresden.de/ppn346492408/23